7. Καὶ ὁ μὲν Ἀλέξανδρός φησιν οὕτως· «Ὠτιάρτου δὲ τελευτήσαντος, τὸν υἱὸν αὐτοῦ Ξίσουθρον βασιλεῦσαι σάρους δεκαοκτώ· ἐπὶ τούτου τὸν μέγαν φασὶ γενέσθαι κατακλυσμόν[a]»· εἶτα σωθῆναι λέγει τὸν Ξίσουθρον, προαπαγ|γείλαντος αὐτῷ τοῦ Κρόνου τὸ ἐσόμενον, καὶ ὅτι προσήκει
516A ναυπηγήσασθαι λάρνακα καὶ ὁμοῦ πτηνοῖς ἑρπετοῖς τε καὶ κτήνεσι πλεῖν ἐν αὐτῇ.

Ὅ γε μὴν Ἀβυδηνὸς σαφεστέραν ποιεῖται τὴν ἀφήγησιν, οὕτω λέγων· «Μεθ' ὃν ἄλλοι τε ἦρξαν καὶ Ξίσουθρος· τῷ δὲ Κρόνος μὲν προσημαίνει ἔσεσθαι πλῆθος ὄμβρων Δαισίου πέμπτῃ ἐπὶ δέκα, κελεύει δὲ πᾶν ὁτιοῦν γραμμάτων ἐχόμενον ἦν ἐν Ἡλίου πόλει τῇ ἐν Σιπαροῖσιν ἀποκρύψαι. Ξίσουθρος δὲ ταῦτα ἐπιτελέα ποιήσας ἰθέως ἐπ' Ἀρμενίης ἀνέπλωσε, καὶ παραυτίκα μιν κατελάμβανε τὰ ἐκ τοῦ Θεοῦ. Τρίτῃ δὲ ἡμέρῃ, ἐπεί τε ὕων ἐκόπασε, μεθίει τῶν ὀρνίθων πεῖρην ποιούμενος εἴπου γῆν ἴδοιεν τοῦ ὕδατος ἐκδῦσαν· αἱ δέ, ἐκδεκομένου σφέας πελάγεος ἀφανέος, ἀπορέουσαι ὅκῃ καθορμίσονται,
B παρὰ τὸν Ξίσουθρον ὀπίσω κομί|ζονται, καὶ ἐπ' αὐτῇσιν ἕτεραι· ὡς δὲ τῇσι τρίτῃσιν εὐτύχεεν — ἀφίκατο γὰρ δὴ πηλοῦ